# Astronautilia

Jan Křesadlo

November 2007

Jan Křesadlo is one of several pen-names of the psychologist, poet and author Václav Jaroslav Karel Pinkava (1926–1995). Among his many his accomplishments is the *Astronautilia*, a 6575-line science-fiction epic poem... in Homeric Greek.

There was limited printing of the work, with a facing Czech translation, shortly after his death, but with the kind help and permission of Křesadlo’s son I am able to present the opening of the poem here, taken from a PDF version of the hand-written manuscript. There are a few places where I’m afraid I may be misreading Křesadlo’s handwriting. The work includes a glossary of modern and sci-fi terms. I’ve footnoted such words in the selection. I have made bold to correct accenting in a few places.

Before starting, you will want to read the English translation of the prologue.

ἀρχόμενος πρῶτον Μουσῶν χορῷ εἰξ Ἑλικῶνος
εὔχομαι ἐκπάγλως καὶ Ἀπόλλωνι ἄνακτι
Μουσάων ἄρχοντι καλῷ ἰδὲ δαίμον’ ἀοιδῶν
ὄφρ’ εἴποιεν ἐμὴν κόσμον γλαφυροῖο πόρευσιν
θαύματα πλανήτων καὶ ἀνδρῶν ὄμβριμα ἔργα
οἷα τε δειξάμενοι πλέομεν δνόφερον διὰ χάσμα
πλοίαρχος μὲν ἐγὼ καὶ ἐμοὶ ἐρίηρες ἑταῖροι
Μανδὺν ζητοῦντες καὶ μῆλον κοσμοθεωροῦν.
ἔσπετε νῦν ἡμῖν τάδε, ὦ Θεός, ἠὲ θέαιναι.

ποῦ ἀρχήν γε λάβοιμι τίδε πρότερον καταλέξω;
εἰρωτᾷς ὅτις εἰμί τέ μοι κλυτὸν οὔνομα ζητεῖς.
τοίγαρ ἐγὼ φήσω· ἐπεὶ ἐσσόμενός γε ἱκανω
οὐχί κεν ἐκφωνεῖν δύνασαις, χαλεπὸν δὲ τόδ’ ἐστί.
ἀλλά γε εἵνεκα σεῖο θέλω ἑτέρως καλέσασθαι.
Οὐδένα πλοίαρχόν περ ἐπίκλησιν κεκαλήσθω
ὧς εἰν βίβλοισιν μυστηρικὸν ἄνδρ καλοῦσι
τολμηρόν· Νήμω καπιτᾶνον Ῥωμαϊστί τε.

οὕτως μὲν κέλεσον μετατιθεὶς ἤματα πάντα.
ἀστυνόμος μὲν ἐγὼ ἐν ἐσσψνένῳ πτολιέθρῳ
κοίραμος ἀστυνόμων ἰδὲ καὶ ταγός· μοὶ δὲ πίθονται
πάντες ἀστυνόμοι ἐν Μητροπόλει καλιπύργῳ.
αὐτάρ μοι λύπη γέγονεν χαλεπὴ δέ τε πρῆξις
ποῦ δ' ἀρχήν γε λάβοιμι τίδε πρότερον καταλέξω;
δυσμαθεὶς τόδε πρῆγμα ἔγωγε κακῶς συνίημι·
ἐξισωσεάς φασιν φυσικοῖσιν ἔνειναι
λυγράς· κβαντιακῆς γε θεωρίης ἀπόδειξιν
αὐτὰρ γράμματα λυγρά γ' ἐξισώσων χαλεπαίνων
δείκνυται ὥς τίδε δεῖ εἶναι ὂν κοσμοθεωροῦν.
εἰ μὲν οὔτις ἔῃ γε φύσις κόσμον ὁροῶσα
κόσμος εὐρυπόρος οὐκ ἂν δυνάσαιτο ὑπάρχειν
οὐ χρόνος οὐ ζακενὸνν οὐχ ὕλη οὔτε τι ἄλλο.
ἀλλά τι μὲν σκοπιὴν αἰὲν δεῖ ἔχειν παρατηροῦν.
τίς κεν ἀνθρώπων τὸ λάβειν θνητῶν δυνάσοιτο;
οἵδε σοφοὶ ἐσόφιζον ἀεὶ περὶ κοσμοσκοπιῆς·
τίς γε φύσις εἴη καὶ ζῷον κοσμοθεωροῦν
ἀλλ' οὐ δή τις πρῆξις ἐφαίνετο τοῖς φρονέουσιν.

Here is an example of Křesadlo's handwriting, from the index. As you can see he has a fondness for some antiquarian ligatures.




[21] καλιπύργῳ free variation on καλλίπυργος?
[26] κβαντιακός *quantum* as in "quantum physics."